UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

LX. Quòd etiam in eo templo sepulchrum sibi aedificavit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

CAPUT LIX.

Deſcriptio ejuſdem Martyrii.

AC templum quidem ipſum maximo Imperatoris ſtudio hûc in modum exornabatur. Circa ipſum templũ ingens erat area, libero ac patente deſuper cœlo. Cujus ad quatuor latera, porticus erant ſibi invicem conjunctæ, quæ aream in medio ſitam una cum ipſo tẽplo circumcingebant. Præterea baſilicæ; lavacra; diverſoria; & alia plurima habitacula ad uſum eorum qui locum cuſtodiebant, porticibus applicita, earũ longitudinem æquabant.

B

CAPUT LX.

Quod etiam in eo templo ſepulcrũ ſibi ædificavit.

HAec omnia dedicavit Imperator eo conſilio, ut Apoſtolorum Servatoris noſtri memoriã poſteris in perpetuum commendaret. Sed & aliud quidpiam in mente habens, ædem illam conſtruxit: quod initio quidem obſcurum, tandem verò omnibus ſub finem innotuit. Quippe ipſe hunc ſibi locum poſt mortem deſignaverat; incredibili fidei alacritate proſpiciens, ut corpus ſuum communem cum Apoſtolis appellationẽ poſt obitum ſortiretur: quò ſcilicet precationum quæ in honorem Apoſtolorum ibi celebrandæ erant, etiam mortuus particeps fieret. Cum igitur duodecim illic capſas, quaſi ſacras quaſdam columnas in honorem ac memoriam Apoſtolici collegii erexiſſet, ſuam ipſius arcam in medio conſtituit, quæ ſenas utrinque Apoſtolorũ capſas diſpoſitas habebat. Atque id in eo loco ubi corpus ipſi⁹ poſt mortem decenter deponendum eſſet, ſolertiſſimè providit. His ille diu antea ſagaci mente diſpoſitis, ædem Apoſtolis conſecravit; pro certo ſibi perſuadens, horum memoriam non parum utilitatis animæ ſuæ eſſe allaturam. Nec verò Deus eum voto atque exſpectatione ſua fruſtratus eſt. Nam cum primas Paſchalis feſti exercitationes obiiſſet, ipſumque Servatoris noſtri diem, tum ſibi tum aliis omnibus lætum atque hilarem reddidiſſet; his illum rebus intentum, & in hujuſmodi operibus perſtantem uſque ad exitum vitæ, Deus cujus auxilio cuncta gerebat, opportunè tandem eum ad meliorem ſortem transferre dignatus eſt.

Κεφ. ΝΘ΄.

Ἔκφρασις τοῦ αὐτοῦ μαρτυρίου.

ΚΑὶ ὁ μὲν νεὼς ὧδε, σὺν πολλῇ βασιλέως φιλοτιμίᾳ, σπουδῆς ἠξιοῦτο· ἀμφὶ δ' αὐτόν, αἴθριος ἦν αὐλὴ παμμεγέθης, εἰς ἀέρα καθαρὸν ἀναπεπταμένη· ἐν τετραπλεύρῳ δὲ ταύτῃ στοαὶ διέτρεχον, μέσον αὐτῷ νεῷ τὸ αἴθριον ἀπολαμβάνουσαι· οἶκοί τε βασίλειοι ταῖς στοαῖς, λουτρά τε καὶ ἀνακαμπτήρια παρεξετείνετο, ἄλλα τε πλεῖστα καταγώγια τοῖς τοῦ τόπου φρουροῖς ἐπιτηδείως εἰργασμένα.

Κεφ. Ξ΄.

Ὅτι ἐν τούτῳ καὶ μνημεῖον εἰς ταφὴν ἑαυτοῦ προεσκευάσατο.

ΤΑῦτα πάντα ἀφιέρου βασιλεύς, διαιωνίζων εἰς ἅπαντας τὴν τοῦ Σωτῆρος ἡμῶν Ἀποστόλων τὴν μνήμην· ᾠκοδόμει δ' ἄρα ἄλλο τι τῇ διανοίᾳ σκοπῶν. ὃ δὴ λανθάνον τὰ πρῶτα, κατάφωρον πρὸς τῷ τέλει τοῖς πᾶσιν ἐγίνετο. αὐτὸς γοῦν αὐτῷ εἰς δέοντα καιρὸν τῆς αὐτοῦ τελευτῆς, τὸν ἐνταυθοῖ τόπον ἐταμιεύετο, τῆς τῶν Ἀποστόλων προσρήσεως κοινωνὸν τὸ αὐτοῦ σκῆνος μετὰ θάνατον, προνοῶν ὑπερβαλλούσῃ πίστεως προθυμίᾳ γεγενῆσθαι, ὡς ἂν καὶ μετὰ τελευτὴν, ἀξιῷτο τῶν ἐνταυθοῖ μελλουσῶν ἐπὶ τιμῇ τῶν Ἀποστόλων συντελεῖσθαι εὐχῶν. δώδεκα δ' οὖν αὐτόθι θήκας, ὡσανεὶ στήλας ἱερὰς, ἐπὶ τιμῇ καὶ μνήμῃ τοῦ τῶν Ἀποστόλων ἐγείρας χοροῦ, μέσην ἐτίθει τὴν ἑαυτοῦ λάρνακα, ἧς ἑκατέρωθεν, τῶν Ἀποστόλων ἀνὰ ἓξ διέκειντο. καὶ τοῦτο γοῦν ὡς ἔφην σὺν φρονίμῳ λογισμῷ, ἔνθα αὐτῷ τὸ σκῆνος τῷ ἀπ[illegible]σαντι τὸν βίον εὐπρεπῶς μέλλοι διαναπαύεσθαι, ἐσκόπει. ἀλλ' ὁ μὲν, ἐκ μακροῦ καὶ πρόσθεν τῷ λογισμῷ ταῦτα πρυτανευόμενος, ἀφιέρου τοῖς Ἀποστόλοις τὸν νεών. ὠφέλειαν ψυχῆς ὀνησιφόρον, τὴν τῶνδε μνήμην ποιεῖσθαι αὐτῷ πιστεύων· Θεὸς δ' αὐτὸν καὶ τῶν κατ' εὐχὰς προσδοκηθέντων οὐκ ἀπηξίου. ὡς γὰρ τὰς πρώτας τῆς τοῦ πάσχα ἑορτῆς συνεπλήρου ἀσκήσεις, τήν τε σωτήριον διήγαγεν ἡμέραν, λαμπρὰν αὐτῷ τε καὶ τοῖς πᾶσι τὴν ἑορτὴν καταφαίνων, ἐν τούτῳ τέλους τὴν ζωὴν διανύοντα καὶ ἐν τοῖς ὄντα, Θεὸς ᾧ ταῦτα συνεξετέλει, κατὰ καιρὸν εὔκαιρον τῆς θείας ἐπὶ τὸ κρεῖττον μεταβάσεως αὐτὸν ἠξίου.

C

D